www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΛΑΡΙΣΗΣ & ΤΥΡΝΑΒΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΧΙΛΛΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΛΑΡΙΣΗΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ & ΕΙΚΟΣΙΤΕΣΣΑΡΩΝ ΟΙΚΩΝ




*Ἐκδίδεται προνοίᾳ τοῦ Σεβ. Μητροπολίτου Λαρίσης κ.κ. ΙΓΝΑΤΙΟΥ*
*ἐγκρίσει τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος*

ΛΑΡΙΣΑ 2004

www.tezaurliturgic.ro

Λάρισα 15.5.07

Στον αγαπητό λαμπαδάριο
του Ι.Ν. Αγ. Νικολάου Λαρίσης
και Οδηγητή του
"Θεσσαλικού Βυζαντινού χορού"
κ. Ηλία Παπαδόπουλο
μετ' ευχών και
αγάπης Χριστού

π. Ραφαήλ



Ἡ Λάρισα τὰ σὰ μεγαλεῖα κηρύττει,
θαυμάζει δὲ τὴν σὴν διδαχὴν Θεσσαλία,
σεμνύνεται χαίρουσα τῶν Πατέρων ἡ Σύνοδος,
κόσμον ἔχει δὲ ἡ Ἐκκλησία σὲ Πάτερ,
ἡμεῖς δ' ἅπαντες θερμὸν προστάτην καὶ ῥύστην
οἱ πόθῳ τιμῶντές σε.

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ. Τ. 140)

ΑΡΙΘ. ΠΡΩΤ. 4536 /Θ.Λ. 1134
ΔΙΕΚΠ. 2209

'Αθήνησι τῇ 29 Νοεμβρίου 1975

Π ρ ὸ ς

Τὸν Σεβασμιώτατον Μητροπολίτην
Λαρίσης καὶ Πλαταμῶνος κ. Σεραφεὶμ

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἔχοντες ὑπ' ὄψιν τὴν ὑποβληθεῖσαν ἡμῖν διὰ τοῦ ὑπ' ἀριθ. 1304)10.11.1975 ὑμετέρου ἐγγράφου Ἱερὰν Ἀκολουθίαν τοῦ Ἁγίου Ἀχιλλίου Ἀρχιεπισκόπου Λαρίσης, ποιηθεῖσαν ὑπὸ τοῦ Ὁσιολ. Μοναχοῦ Γερασίμου Μικραγιαννανίτη, ὡς καὶ τὴν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Ἱερισσοῦ, Ἁγ. Ὄρους καὶ Ἀρδαμερίου κ. Παύλου, ὡς Προέδρου τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας, Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 12ης λήγοντος μηνός, ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ διατελοῦμεν μετ' ἀγάπης.

† Ὁ Ἀθηνῶν ΣΕΡΑΦΕΙΜ, Πρόεδρος

Ὁ Ἀρχιγραμματεὺς
Ἀρχιμ. ΑΜΒΡΟΣΙΟΣ Γ. ΛΕΝΗΣ

Κοινοποίησις:

Συνοδικὴν Ἐπιτροπὴν
Θ. Λατρείας

Παρ' Ἡμῖν

www.tezaurliturgic.ro



Ἄποψις Ι. Ναοῦ Ἁγ. Ἀχιλλίου.

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Ἐξαντληθείσης τῆς ὑπὸ τοῦ, ἀπὸ τῆς Ἱερᾶς ταύτης Μητροπόλεως ἀειμνήστου προκατόχου ἡμῶν καὶ Ἀρχιεπισκόπου Ἀθηνῶν Κυροῦ Δωροθέου, συμπεπληρωμένης ἐπανεκδόσεως ἐν ἔτει 1952 τῆς ἱερᾶς Ἀκολουθίας τοῦ Ἁγίου καὶ Πολιούχου ἡμῶν Ἀχιλλίου, Ἀρχιεπισκόπου Λαρίσης τοῦ Θαυματουργοῦ, ἐπιχειροῦμεν τὴν καὶ αὖθις ἐπανέκδοσιν πληρεστέρας τοιαύτης, μετὰ τοῦ Παρακλητικοῦ Κανόνος καὶ Εἰκοσιτεσσάρων Οἴκων, ἣν ὁ Ὁσιώτατος Ὑμνογράφος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Γεράσιμος Μικραγιαννανίτης Χάριτι Κυρίου ἐν εὐλαβείᾳ ἐπονήσατο.

Στοιχοῦσα καὶ ἡ ταπεινότης ἡμῶν τῇ ἱερᾷ ἐφέσει τοῦ ἀοιδίμου Κυροῦ Δωροθέου καὶ ἐπικαλούμενοι τὴν μεσιτείαν καὶ εὐλογίαν τοῦ Ἁγίου Ἀχιλλίου, ἀποτολμῶμεν καὶ ἡμεῖς τὴν ἔτι καὶ ἔτι προπληρωμένην τῆς ἱερᾶς ταύτης Ἀκολουθίας ἐπανέκδοσιν, μετὰ πολλῆς συγκινήσεως πρὸς ψυχικὴν ὠφέλειαν καὶ καταρτισμὸν πνευματικὸν παντὸς εὐλαβοῦς χριστιανοῦ.

Δεόμεθα τῷ Κυρίῳ ὅπως διὰ πρεσβειῶν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀχιλλίου τοῦ Θαυματουργοῦ φυλάττῃ τὸ θεοπειθὲς καὶ εὐλαβέστατον ποίμνιον ἡμῶν μετὰ παντὸς τοῦ χριστεπωνύμου πληρώματος.

Ἐν τῇ Ἱερᾷ Μητροπόλει Λαρίσης τῇ 15ῃ Μαΐου 1978.

† Ὁ Λαρίσης ΣΕΡΑΦΕΙΜ

www.tezaurliturgic.ro




Ἡ Κοίμησις τοῦ Ἁγ. Ἀχιλλίου. (Ἐκ τῆς Ἁγιογραφήσεως).

www.tezaurliturgic.ro



Τέμπλον Ι. Ν. Άγ. Αχιλλίου

www.tezaurliturgic.ro



Ἄποψις Πλατυτέρας.

www.tezaurliturgic.ro

Τῇ ΙΕ΄ τοῦ μηνὸς Μαΐου
μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν

# ΑΧΙΛΛΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΛΑΡΙΣΗΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

**ΕΙΔΗΣΙΣ: Εἰς τὴν παροῦσαν ἑορτὴν λαμβάνομεν ὡς ὁδηγὸν τὴν τυπικὴν διάταξιν τῆς Ἑορτῆς τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε ἐκέκραξα.

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἀνετέθης τῷ Θεῷ, ὅλης ἐκ ψυχῆς καὶ καρδίας, ἀπὸ νεότητος, τότε σκεῦος εὔχρηστον καὶ πολυτίμητον, δωρεῶν τῶν τοῦ Πνεύματος, Ἀχίλλιε ὤφθης, καὶ θαυμάτων δύναμιν, πλουσίαν εἴληφας· ὅθεν ὡς Ἀπόστολος ἄλλος, τὸν τῆς εὐσεβείας κηρύττεις, λόγον ἐν τοῖς ἔργοις θαυμαζόμενος.

Ὅτε ποιμενάρχης ἱερός, ψήφῳ θεϊκῇ ἀνεδείχθης, Λαρίσης Ἅγιε, τότε κατεφώτισας λόγοις καὶ πράξεσιν, ὡς ποιμὴν ἐνθεώτατος, Πάτερ τὸν λαόν σου, πλάνης τὰ ζιζάνια, ἐκκόπτων Ἀχίλλιε. Ὅθεν Θεσσαλία καυχᾶται, τῇ τῶν σῶν θαυμάτων ἐκφάνσει, καὶ τῇ πρὸς Χριστὸν θερμῇ πρεσβείᾳ σου.

www.tezaurliturgic.ro



Ὅτε ἐν Συνόδῳ τῇ σεπτῇ, ᾔσχυνας Ἀρείου τὴν πλάνην, λόγῳ τῆς χάριτος, τότε ἐβεβαίωσας, ὅπερ ἐκήρυττες, τῷ μεγίστῳ σου θαύματι· ὡς Μωσῆς γὰρ ἄλλος, ἐκ ἀνίκμου ἔλαιον, πέτρας ἀνέβλυσας. Ὅθεν τὴν δοθεῖσάν σοι χάριν, πάντες ἐξεπλάγησαν Πάτερ, καὶ τὸν σὲ δοξάσαντα ἐδόξασαν.

Χαίροις Λαρισαίων ὁ φωστήρ, καὶ πρὸς τὸν Θεὸν πρέσβυς μέγας, καὶ ἀντιλήπτωρ θερμός, Ἅγιε Ἀχίλλιε, Ἱεραρχῶν καλλονή, Θεσσαλίας ἀγλάϊσμα, Ἑλλάδος τὸ κλέος, στῦλος καὶ ἑδραίωμα, τῆς Ἐκκλησίας Χριστοῦ· ἥνπερ ταῖς πρεσβείαις σου Πάτερ, τῆς Ὀρθοδοξίας τῇ πέτρᾳ, φύλαττε ἑδραίαν καὶ ἀκλόνητον.

Δόξα. Ἦχος α΄.

Ἐ'κ παιδὸς τὴν κρείττονα ζωήν, ὑπελθὼν ὁλοτρόπως, τῶν κατ' αὐτῆς ἀναβάσεων, μυσταγωγὸς ἀνεδείχθης· καὶ θείου φωτὸς πληρωθείς, Ἀποστολικῆς ἐξουσίας, ὄργανον γέγονας, Ἱεράρχα Ἀχίλλιε. Ἀλλ' ὡς τῆς Τριάδος κῆρυξ μεγαλόφωνος, καὶ θαυμάτων αὐτουργός, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅλος θεοειδὴς ἀμέμπτῳ πολιτείᾳ. Ἀχίλλιε ἐδείχθης, καὶ μέγας Ἱεράρχης, Λαρίσης ἐχρημάτισας.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Μέγας ὡς ἀληθῶς, ἐν τῇ Συνόδῳ ὤφθης, τῇ ἐν Νικαίᾳ Πάτερ, καὶ ᾔσχυνας Ἀρείου, τοῦ δυσσεβοῦς τὸ φρόνημα.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Χαίρει τῷ σῷ ναῷ, ἡ Λάρισα παμμάκαρ, ἡ πάλαι στερηθεῖσα, τῶν σῶν σεπτῶν λειψάνων, πανδήμως εὐφημοῦσά σε.

Δόξα. Τριαδικόν.

Ἴσον ὁμολογεῖς, Πατρὶ τὸν Θεὸν Λόγον, καὶ Πνεύματι τῷ θείῳ, ἐν λόγοις τε καὶ ἔργοις, Πάτερ καὶ ὁμοούσιον.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον.**

Λόγος ὁ τοῦ Θεοῦ, σάρκα λαβὼν ἀτρέπτως, ἐκ σοῦ Παρθενομῆτορ, διπλοῦς ὤφθη τῷ κόσμῳ, καὶ τὴν κατάραν ἔλυσε.

**Νῦν ἀπολύεις,** τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς τοῦ Πνεύματος ὄργανον, Ἱεράρχα Ἀχίλλιε, καὶ σοφίας κρείττονος ἐνδιαίτημα, ὡς τῆς Τριάδος ὑπέρμαχον, καὶ στῦλον ὁλόφωτον, καὶ νεφέλην φωτεινήν, τῆς Χριστοῦ Ἐκκλησίας σε, μακαρίζομεν, καὶ Λαρίσης ποιμένα θεοφόρον, ἐκτελοῦντές σου τὴν μνήμην, τὴν παναγίαν θεόσοφε.

Ἐκ νεότητος Ἅγιε, ἐπιπνοίας τῆς ἄνωθεν, θησαυρὸς πολύτιμος ἐχρημάτισας, καὶ Ἀποστόλων δεξάμενος, τὴν χάριν Ἀχίλλιε, πανταχοῦ περιφανής, διδαχαῖς τε καὶ θαύμασιν, ἀναδέδειξαι, καὶ χρισθεὶς μυστικῶς τῷ θείῳ μύρῳ, Ἱεράρχης θεηφόρος, ὤφθης ἐν πᾶσι καὶ ἔνδοξος.

Τῆς Λαρίσης ποιμένα σε, καὶ διδάσκαλον ἔνθεον, Θεσσαλίας πάσης δὲ λύχνον πάμφωτον, καὶ Ἐκκλησίας ἑδραίωμα, ἡ χάρις τοῦ Πνεύματος, ὡς θεράποντα Θεοῦ, καὶ τοῦ λόγου τῆς πίστεως, θεῖον κήρυκα, ἀναδείκνυσι Πάτερ δᾳδουχοῦντα, εὐσεβῶν τὰς διανοίας, τῇ δεδομένῃ σοι χάριτι.

Ἐν Συνόδῳ τῇ Πρώτῃ σε, ἐθαυμάστωσε Κύριος, ἱερὲ Ἀχίλλιε ὑπὲρ ἔννοιαν· τοῦ γὰρ Ἀρείου τὸ βλάσφημον, ἐλέγξας τῷ λόγῳ σου, προσευχῇ σου πρὸς Θεόν, ἀπὸ πέτρας ἀνέβλυσας, Πάτερ ἔλαιον, καὶ ἐξέπληξας πάντας τοὺς ὁρῶντας, ἀρετῶν σου ἐν τῷ πλούτῳ, καὶ τῷ μεγέθει τῆς χάριτος.

www.tezaurliturgic.ro



Λαρισαίων τὸν πρόεδρον, καὶ φωστῆρα πολύφωτον, τοῦ Ἁγίου Πνεύματος τὸ θησαύρισμα, τῆς ἐν Νικαίᾳ Συνόδου δέ, συνήγορον μέγιστον, καὶ ὑπέρμαχον θερμόν, τὸν ἐν λόγοις καὶ θαύμασι, καταλύσαντα, τοῦ Ἀρείου τοῦ ἄφρονος τὴν πλάνην, εὐφημήσωμεν ἀξίως, τὸν Ἱεράρχην Ἀχίλλιον.

Ἡ περίβλεπτος πόλις σου, ἣν θεόθεν κεκλήρωσαι, ὥσπερ κλῆρον ἅγιον καὶ θεόσδοτον, πάλαι τῶν θείων λειψάνων σου, τὴν στέρησιν φέρουσα, τῷ ἁγίῳ σου ναῷ, καὶ ἐγκαυχᾶται προστρέχουσα, μετὰ πίστεως, καὶ ἐν τούτῳ τρυγῶσά σου τὴν χάριν, τὴν θερμήν σου προστασίαν, ἀνακηρύττει Ἀχίλλιε.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἐν τῇ ἔαρος ὥρᾳ, ὡς ἔαρ μυστικὸν ἐπέφανεν, ἡ τοῦ Ἱεράρχου Ἀχιλλίου μνήμη, τὴν Ἐκκλησίαν εὐφραίνουσα· ὡς ἀρετῶν γὰρ λειμών, τῆς εὐσεβείας γεωργήσας τὰ ἄνθη, πάντας συγκαλεῖται μετασχεῖν τῆς χάριτος, καὶ βοῆσαι αὐτῷ· χαίροις τῆς Ἐκκλησίας στῦλος ἀρραγής, καὶ τῆς Ὀρθοδοξίας, θεοκίνητον ὄργανον· χαίροις ὁ τῆς Ἀρείου μανίας καθαιρέτης, καὶ τῶν θαυμάτων θεόβρυτος κρήνη· χαίροις τῆς Λαρίσης ποιμὴν ἐνθεώτατος, καὶ θεῖος πολιοῦχος, τῆς Θεσσαλίας δόξα, καὶ πάσης τῆς Ἑλλάδος πυρσὸς φωτοφανής. Ἀλλ᾽ ὡς ἔχων παρρησίαν τῇ Τριάδι Πάτερ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄. 13).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν, ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι

www.tezaurliturgic.ro



ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατε καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον μου χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ μεγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. ι΄. 12).

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτος, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι, βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς· ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ ἀβουλίᾳ δὲ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιον ἐκ θήρας ἐκδύνει· ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν, παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις· στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν· ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

www.tezaurliturgic.ro



Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄. 7).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ πόλις Λαρισαίων, Ἀχίλλιον τὸν θεῖον Ἱεράρχην, ποιμένα καὶ πρόεδρον, καὶ πολιοῦχον πλουτοῦσα· Ἀποστολικῶς γὰρ Χριστῷ εὐαρεστήσας, ὅσιος καὶ ἄκακος, καὶ ἐν θαύμασι περιφανής, ὡς ἀληθῶς ἀνεδείχθη· καὶ τῇ σοφίᾳ τοῦ Πνεύματος, τὰς τῶν αἱρέσεων λύσας συστροφάς, Ὀρθοδοξίας τὴν λαμπρότητα, ἐν σοὶ ἐθησαύρισε· καὶ νῦν ἀπαύστως πρεσβεύει, διδόναι πᾶσιν ἱλασμόν, καὶ τὸ θεῖον ἔλεος.

Ἦχος β΄.

Τῶν Ἀποστόλων ἠμφιεσμένος τὴν χάριν, ὡς ἀρετῶν ὑπογραμμός, λόγῳ καὶ ἔργῳ διέπρεψας, θεοφόρε Ἀχίλλιε· τῆς ἐν Χριστῷ οἰκονομίας γάρ, τὸ μυστήριον ἐτράνωσας, καὶ ἀμυήτους ψυχάς, θεοσόφοις διδαχαῖς ἐφώτισας· καὶ ὡς ἄξιον σκεῦος, καὶ στόμα θεῖον Προφητικῶς, Ἱεράρχης θεόληπτος, τῆς Ἐκκλησίας ὤφθης· τὸ τοῦ Χριστοῦ γὰρ Εὐαγγέλιον, ἱερουργῶν πρακτικῶς, ἐν ὁσιότητι καὶ ἀληθείᾳ, Κυρίῳ καθιέρωσας, περιούσιον λαόν· διὸ Λάρισα ἡ πόλις σου, χαρμοσύνως γεραίρει σε.

www.tezaurliturgic.ro



Ἦχος γ΄.

Ὡς ἀληθείας φωστήρ, ἐν τῇ Συνόδῳ τῇ Πρώτῃ, τῇ δεδομένῃ σοι χάριτι, διέλαμψας Ἀχίλλιε· καὶ τῷ φωτὶ τῶν λόγων σου, τὴν τοῦ Ἀρείου ἠμαύρωσας, ἐρεσχελίαν τὴν ψυχόλεθρον· τὸν γὰρ Υἱὸν ὁμοούσιον, οἷα Λόγον σύνθρονον, τῷ Πατρὶ ἐκήρυξας· καὶ ὡς ἄλλος Μωϋσῆς, ἐκ πέτρας ἀνίκμου, ἔλαιον ἔβλυσας, τὴν τοῦ λόγου πιστούμενος ἀκρίβειαν· ἔνθεν πάντες ἠγάσθησαν, τὴν ἐν σοὶ λαμπρότητα, Ἱεράρχα μακάριε· καὶ νῦν τοῖς ἄνω συνὼν λειτουργοῖς, μὴ παύσῃ ἀναφέρων Θεῷ, τὰς ὑπὲρ ἡμῶν ἱλαστηρίους δεόμεθα.

Ἦχος δ΄.

Εὐαγγελίου τέμνων τὴν αὔλακα, καὶ τοῦ λόγου γεωργῶν τὰ σπέρματα, ὡς οἰκονόμος ψυχῶν, καὶ λειτουργὸς θεοειδὴς τῆς χάριτος, τῶν ζιζανίων τὰς ἀκάνθας ἐξέτεμες, καὶ ὡς ἀγρὸν πολύχουν, τὴν σὴν ποίμνην τῷ Θεῷ παρέστησας, Ἱεράρχα Ἀχίλλιε· εὐσεβείας γὰρ καρπούς, καὶ ἠθῶν σεμνότητα, καὶ πολιτείαν ἄμεμπτον ἐξήνεγκε· καὶ καλῶς τὸν δρόμον τελέσας, τῆς ἄνω δόξης ἠξίωσαι, ἡμῖν Χριστὸν ἱλεούμενος.

Δόξα. Ὁ αὐτός.

Τὸν Ἱεράρχην τοῦ Χριστοῦ, καὶ τῶν Λαρισαίων ποιμενάρχην καὶ πρόεδρον, Ἀχίλλιον τὸν μέγαν, ὡς Θεσσαλίας πάσης σκοπόν, ᾀσμάτων ἄνθεσι καταστέψωμεν· σοφῶς γὰρ ποιμάνας, ἐν ὁσιότητι καὶ ἀληθείᾳ, τὴν λαχοῦσαν ποίμνην, ἐν δόγμασι θεόληπτος, καὶ ἐν θαύμασι περίβλεπτος, καὶ ἐν Ἐκκλησίᾳ Δαβιτικῶς Ὁσίων, μυσταγωγὸς θεοειδής, τῶν κρειττόνων ὤφθη, ἀπαύστως πρεσβεύων, διδόναι πᾶσι πταισμάτων ἄφεσιν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τῆς Λαρίσης φωστήρ, τῆς Θετταλίας τὸ περίβλεπτον καύχημα, ἁπάσης τῆς Ἐκκλησίας, ὁ διαυγὴς ὀφθαλμός, ἐναρέτων ἔργων ὑποτύπωσις, Ἀχίλλιε Ὅσιε, Παρακλήτου κειμήλιον, Ὀρθοδοξίας, ἀκατάσειστον ἔρεισμα, λειμὼν εὔοσμος, θεωρίας καὶ πράξεως· στόμα τὸ θεοκίνητον, δογμάτων τῆς πίστεως· τῶν διδαγμάτων χειμάρρους, τῶν ἱερῶν ὁ ἀείρυτος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...

Θείῳ λελαμπρυσμένος φωτί, ὡς Ἱεράρχης τοῦ Χριστοῦ ἐνθεώτατος, καὶ μύστης τῶν ἀπορρήτων, τῇ ἐν Νικαίᾳ σοφέ, ἱερᾷ Συνόδῳ χαίρων ἔσπευσας, καὶ πᾶσαν ἐφίμωσας, τοῦ Ἀρείου Ἀχίλλιε, δεινὴν μανίαν, τὸν Υἱὸν ὁμοούσιον, καὶ ὁμόθρονον, τῷ Πατρὶ ὡς ἐκήρυξας· ὅθεν καὶ βλύσας ἔλαιον, ἐκ πέτρας τῷ λόγῳ σου, ἐθαυμαστώθης ὡς μέγας, Θεοῦ θεράπων καὶ γνήσιος. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ θεῖον ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Χαίρει ἡ κληρουχία ἡ σή, ἐγκαυχωμένη τῇ θερμῇ προστασίᾳ σου, Ἀχίλλιε Ἱεράρχα, καὶ τῷ σεπτῷ σου ναῷ, ἀδιστάκτῳ πίστει προσπελάζουσα, λαμβάνει ἑκάστοτε, τὰ αἰτήματα Ἅγιε, καὶ τὴν ἁγίαν, καὶ πανέορτον μνήμην σου, ἑορτάζουσα, ἐκ μυχίων κραυγάζει σοι· Σκέπε καὶ διαφύλαττε, ἀπαύστως τὴν πόλιν σου, τὴν ἐκ ψυχῆς ἀφορῶσαν, πρὸς τὴν ὀξεῖαν πρεσβείαν σου, καὶ δίδου παμμάκαρ, τῆς σεπτῆς σου εὐλογίας, ἡμῖν τὰς χάριτας.

Ἦχος πλ. δ΄.

Ἱεραρχίας κανών, καὶ Ἐκκλησίας προπύργιον ὡς μιμητὴς Ἀποστόλων, ὤφθης Ἀχίλλιε Ὅσιε· ἡ γὰρ ζωή σου ἀγγελική, θαύμασι πιστουμένη, καὶ ὁ λόγος θεόσοφος, Ὀρθοδοξίας ἐκφαίνων τὴν ἔλλαμψιν, Ἱεράρχα μακάριε. Καὶ νῦν Ἀποστολικῶς τὸν δρόμον τελέσας, σὺν Ἀποστόλοις ἱκέτευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

τὸ τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Τὸ γνωστὸν παλαιόν. Ἦχος γ΄. Θείας πίστεως.

Χαίρει ἔχουσα ἡ Θεσσαλία, σὲ ἀκοίμητον φρουρὸν προστάτην, καὶ τῆς Λαρίσης ἡ πόλις ἀδάμαντα, ἡ Ἐκκλησία τὴν εὔηχον σάλπιγγα, τὸ τοῦ Υἱοῦ ὁμοούσιον κηρύξασαν. Πάτερ Ἅγιε, Ἱεράρχα Ἀχίλλιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

www.tezaurliturgic.ro



Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Λαρίσης ποιμένα καὶ προστάτην θερμότατον, καὶ τῆς Θεσσαλίας φωστῆρα Ἱεράρχα Ἀχίλλιε, ἡ χάρις σε ἀνέδειξε Θεοῦ, ὡς σκεῦος οὐρανίων δωρεῶν· διὰ τοῦτο ὡς μεσίτην σε πρὸς Θεόν, γεραίρομεν κραυγάζοντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ θαυμαστώσαντι. δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τὴν μνήμην σου σοφέ, τὴν ἁγίαν τελοῦντες, ὑμνοῦμεν εὐλαβῶς, τοὺς σεπτούς σου ἀγῶνας, δι᾿ ὧν Πάτερ Ἀχίλλιε, τοῦ Ἀρείου τὴν αἵρεσιν, καταβέβληκας, καὶ τῆς αὐτοῦ πικρᾶς λύμης, ἀδιάφθορον, τὴν σὴν διέσωσας ποίμνην, Πατέρων ἀγλάϊσμα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ μέγας Ἀχίλλιος, ὁ τῆς Λαρίσης φωστήρ, τὴν χάριν τοῦ Πνεύματος, ἐνδεδυμένος στερρῶς, Ἀρείου κατέβαλε, πᾶσαν τὴν φληναφίαν, ἐν Συνόδῳ τῇ Πρώτῃ, ἔλαιον δὲ ἐκ πέτρας, παραδόξως πηγάσας, τοῖς πᾶσιν ἐβεβαίωσε, τὸ ἔνθεον κήρυγμα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀποστόλων τὴν χάριν πεπλουτηκώς, Ἱεράρχης ἐδείχθης περιφανής, καὶ πᾶσιν ἐκήρυξας, εὐσεβείας τὴν ἔλλαμψιν, ἐν θαύμασιν ἐκλάμπων, καὶ τρόπων χρηστότητι, καὶ τῶν ψυχῶν καθαίρων, τὸν ῥύπον τῷ λόγῳ σου· ὅθεν καὶ Ἀρείου, καθελὼν τὴν μανίαν, ὁσίως ἐποίμανας, τὴν σὴν ποίμνην Ἀχίλλιε, ὡς ποιμὴν ἐνθεώτατος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

www.tezaurliturgic.ro



Καὶ τὸ τῆς Ἑορτῆς

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Κατὰ τὴν Πασχάλιαν περίοδον πρὸ τοῦ Ν΄ ψαλμοῦ τὸ "Ἀνάστασιν Χριστοῦ"

Εὐαγγέλιον Ἱεραρχικόν.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τοῦ Εὐαγγελίου τὸν λόγον προφαίνων, ὁσίως καὶ ἀμέμπτως τῷ Θεῷ ἱεράτευσας, Ἱεράρχα Ἀχίλλιε· τῆς γὰρ ἡμέρας τὸν καύσωνα, καὶ τῆς νυκτὸς τὸν παγετὸν ὑπομείνας, εἰς ἑκατὸν ηὔξησας, τὸ δοθέν σοι τάλαντον· καὶ νῦν τῆς δόξης τοῦ Θεοῦ τυχών, μὴ παύσῃ δεόμενος, ὑπὲρ τῶν τιμώντων σε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.

«Τὰς Ἀχιλλίου ἀρετὰς μέλπω, Γερασίμου».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τριὰς ὁμοούσιος, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιον, τὸν νοῦν μου καταύγασον, ὅπως ὑμνήσω φαιδρῶς, Ἀχιλλίου σου, τοῦ θείου Ἱεράρχου, τὸν βίον τὸν ἔνθεον, καὶ τὰ κελεύσματα.

Ἀμέμπτως ἱέρευσας, τῷ ἐπὶ πάντων Θεῷ ἡμῶν, Ἀχίλλιε Ὅσιε, ὡς Ἱεράρχης σοφός, ἐκ νεότητος, Χριστῷ ἀκολουθήσας, καὶ πᾶσαν τὴν πρόσκαιρον, λιπὼν ἀπόλαυσιν.

Σοφίας τῆς κρείττονος, δοχεῖον ὤφθης ὑπέρτιμον, τὸν νοῦν καθηράμενος, δι᾽ ἐναρέτου ζωῆς· ὅθεν πέπλησαι, φωτὸς ἐπουρανίου, καὶ πᾶσιν ἐκήρυξας, λόγον τῆς πίστεως.

Θεοτοκίον.

Ἀσπόρως συνέλαβες, τὸν Ὑπερούσιον Κύριον, ἀφθόρως δὲ τέτοκας, τοῦτον Πανάχραντε. Τίς ὑμνήσει σου, τὰ μεγαλεῖα Κόρη; ὅτι Μήτηρ γέγονας, τοῦ Παντοκράτορος.

www.tezaurliturgic.ro



Ὠδὴ γ´. Τοὺς σοὺς ὑμνολόγους.

Χριστὸν ἐκ νεότητος ποθήσας, καὶ τούτῳ πιστῶς ἀκολουθῶν, ξένος τῷ κόσμῳ γέγονας, καὶ ξένων κατηξίωσαι, παρὰ Θεοῦ Ἀχίλλιε, ὡς ἀληθῶς δώρων Ὅσιε.

Ἰάσεις τελῶν χάριτι θείᾳ, καὶ πᾶσι κηρύττων ἱερῶς, διδάγματι σωτήρια, Ἀχίλλιε μακάριε, ἀρχιερεὺς θεόληπτος, παρὰ Θεοῦ προκεχείρισαι.

Λαμπρύνας σαυτὸν πράξεσι θείαις, ποιμὴν τῆς Λαρίσης ἱερός, καὶ ἱεράρχης ὅσιος, ὤφθης Πάτερ Ἀχίλλιε, θαυμάτων βλύζων χάριτος, ἐν τῇ δυνάμει τοῦ Πνεύματος.

Θεοτοκίον.

Λαμπρὸς χρυσαυγίζουσα ὡράθης, τὸ φῶς τῆς ζωῆς ὑπερφυῶς, τεκοῦσα ὕλῃ σώματος, Χριστὸν τὸν Παντοδύναμον, παθῶν λύουσα ζόφωσιν, ἐκ τῶν ψυχῶν ἡμῶν Ἄχραντε.

Κάθισμα. Ἦχος γ´. Θείας πίστεως.

Θείῳ Πνεύματι, λελαμπρυσμένος, ποιμὴν ἄριστος, Λαρίσης ὤφθης, καὶ θαυμάτων αὐτουργὸς ἀναδέδειξαι, Ἀρχιεράρχα παμμάκαρ Ἀχίλλιε, οἷα θεράπων Θεοῦ γνησιώτατος. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ὠδὴ δ´. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ἰθύνας τὴν ποίμνην σου Πάτερ σοφέ, λόγῳ καὶ σοφίᾳ καὶ θαύμασιν, ἐπὶ λειμῶνας ψυχοτρόφων ἀρετῶν, καὶ τῷ Χριστῷ Ἀχίλλιε, ταύτην σεσωσμένην προσήγαγες.

Ὄμβροις διδαγμάτων σου ἱερῶν, τὰς κεχερσωμένας κατήρδευσας, καρδίας Πάτερ, κατασπείρας ἐν αὐταῖς, τὸν λόγον τὸν σωτήριον, πρὸς καρποφορίαν οὐράνιον.

Ὑψώσας τὸν νοῦν σου πρὸς τὸν Θεόν, μέσῳ τῆς Συνόδου ἱστάμενος, Πάτερ τῆς πρώτης, καὶ ἐκ πέτρας θαυμαστῶς, ἔλαιον θεῖον ἔβλυσας, πάντας καταπλήξας Ἀχίλλιε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ἄφραστος ὁ τόκος σου πέλει Ἁγνή, πᾶσι καὶ ἀπόρρητος Ἄχραντε· Θεὸν γὰρ τίκτεις, μετὰ σώματος ἡμῖν, ἐκ τῶν ἁγνῶν αἱμάτων σου, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ρωννύμενος Ἅγιε, τοῦ Παρακλήτου χάριτι, ᾔσχυνας Ἀρείου δεινὴν πλάνην, καὶ ὁμοούσιον ἀνεκήρυξας, τῷ Πατρὶ τὸν Λόγον καὶ Υἱόν, καὶ τῷ θείῳ Πνεύματι, θεηγόρε Ἀχίλλιε.

Ἐν πόᾳ τῆς πίστεως, τὴν ποίμνην σου ὡδήγησας, καὶ εἰς χλόην θείων ἐνταλμάτων, καὶ ἐφ' ὑδάτων πηγὰς τῆς χάριτος, οἷά περ ποιμὴν ἀληθινός, Ἅγιε Ἀχίλλιε· διὰ τοῦτο γεραίρει σε.

Τὸ θεῖόν σου λείψανον, ὡς πλοῦτος ἁγιάσματος, πάλαι ἡ σὴ πόλις κεκτημένη, φαιδρῶς ἐσκίρτα Πάτερ Ἀχίλλιε· νῦν δὲ τῇ στερήσει τῇ αὐτοῦ, τὸν ναόν σου κέκτηται, ὡς λιμένα ἀχείμαστον.

Θεοτοκίον.

Ἀγγέλων βασίλισσα, ἐδείχθης Μητροπάρθενε, ὡς τὸν Βασιλέα τῶν ἁπάντων, Χριστὸν τεκοῦσα ὑπερφυῶς ἐν σαρκί· ὅθεν βασιλείας οὐρανῶν, κληρονόμον δεῖξόν με, τὸν ἀχρεῖον ἱκέτην σου.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Σοφίᾳ Πάτερ τῶν λόγων σου, Ἀρείου τὴν ἀπάτην ἐφαύλισας, καὶ τὴν Ὀρθόδοξον, πίστιν τρανῶς ἐδογμάτισας, Ἀχίλλιε τρισμάκαρ, ὡς πλήρης χάριτος.

Μέγας ἐν θαύμασι πέφηνας, Ἀχίλλιε ποιμὴν ἱερώτατε, καὶ μείζων Ἅγιε, ἐν προστασίαις ἑκάστοτε· διὸ ἐν σοὶ καυχᾶται, Πάτερ ἡ Λάρισα.

Ἐν Ἱεράρχαις θεόληπτος, ὑπάρχων θεοφόρε Ἀχίλλιε, ὡς ἄστρον πάμφωτον, ἐν τῇ συνόδῳ ἀνέλαμψας, τῇ Πρώτῃ καταισχύνας, τοὺς ματαιόφρονας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Λυχνία ὤφθης ἐπτάφωτος, χαρίσμασι Παρθένε τοῦ Πνεύματος, περιαστράπτουσα, καὶ τοὺς ἐν σκότει ὑπάρχοντας, παθῶν καὶ ἁμαρτίας, ταχέως σώζουσα.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῆς Θεσσαλίας τὸν ἀστέρα τὸν ὑπέρλαμπρον
Καὶ Λαρισαίων τὸν ποιμένα τὸν ἀνύστακτον
Κατὰ χρέος εὐφημήσωμεν ἐκβοῶντες·
Παρρησίαν κεκτημένος πρὸς τὸν Κύριον
Ἐκ παντὸς ἡμᾶς κινδύνου ἐλευθέρωσον
Ἵνα κράζωμεν, χαίροις Πάτερ Ἀχίλλιε.

Ὁ Οἶκος.

Ἄγγελος ἐκ τῶν τρόπων, ἐν τῷ κόσμῳ ἐφάνης, Ἀχίλλιε σοφὲ Ἱεράρχα· καὶ νῦν Ἀγγέλων δήμοις συνών, τῶν τῆς Τριάδος ἐντρυφᾷς ἐλλάμψεων, δι' ὧν πυρσεύεις ἅπαντας, τοὺς ἐκβοῶντας σοι τοιαῦτα.

Χαῖρε τὸ ἄστρον τὸ τῆς Ἑώας
Χαῖρε τὸ φέγγος τῆς Θεσσαλίας
Χαῖρε τῆς Λαρίσης ποιμὴν ἐνθεώτατος
Χαῖρε Ἐκκλησίας φωστὴρ τηλαυγέστατος
Χαῖρε κῆρυξ ὁ πολύφωνος τῆς Θεότητος Χριστοῦ
Χαῖρε ξίφος τὸ ἀμφίστομον τῆς ἀπάτης τοῦ ἐχθροῦ
Χαῖρε ὅτι καθεῖλες τοῦ Ἀρείου τὸ θράσος
Χαῖρε ὅτι παρέχεις Ὀρθοδόξοις τὸ κράτος
Χαῖρε λαμπτὴρ τῆς πίστεως πάμφωτος
Χαῖρε πιστῶν ὁ θεῖος διδάσκαλος
Χαῖρε πολλῶν αὐτουργὲ θαυμασίων
Χαῖρε λειμὼν δωρεῶν οὐρανίων.

Χαίροις Πάτερ Ἀχίλλιε.

Συναξάριον.

Τῇ ιε'. τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀχιλλίου Ἀρχιεπισκόπου Λαρίσης, τοῦ θαυματουργοῦ.

www.tezaurliturgic.ro



Στίχ. Λαλεῖ Λάρισα σὰς ἀριστείας ξένας.
Μνήμην ἔχουσα καὶ θανόντος σου Πάτερ.
Πέμπτῃ καὶ δεκάτῃ νόες ἦραν ἔνθεν κῆρ Ἀχιλλίου.

Οὗτος ὁ μακάριος ἐν Ἱεράρχαις ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, ἐξ εὐσεβῶν γεννητόρων φὺς καὶ ἀνατραφείς, δι' ὧν εὐσέβειαν καὶ θεοσέβειαν, μετὰ τῶν ἔξωθεν μαθημάτων, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐκπαιδεύεται. Πάσαις δὲ ταῖς κατὰ Θεὸν ἀρεταῖς ἑαυτὸν κατακοσμήσας, καὶ θαυμάτων δύναμιν δεξάμενος, καὶ Ἀποστολικὴν χάριν εἰληφώς, Ἀρχιερεὺς τῆς δευτέρας Θετταλίας ἐν τῇ Λαρισαίων παρὰ πάντων τῶν τὴν Ἑλλάδα οἰκούντων ἀναγορεύεται, ὡς πολύτιμον σκεῦος τοῦ Παναγίου Πνεύματος. Καὶ ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ Συνόδῳ παραγενόμενος, καὶ μέχρι τέλους τοῖς θεοφόροις Πατράσι συγκαμὼν καὶ συναγωνισάμενος, καὶ τὸν Ἄρειον καὶ τοὺς σὺν αὐτῷ καθελών, καὶ ἀναθέματι παραπέμψας, καὶ ἔλαιον παραδόξως ἐξ ἀνίκμου πέτρας ἐν μέσῳ τοῦ ἱεροῦ ἐκείνου συλλόγου ἀναβλύσας, καὶ παρὰ πάντων μεγάλως τιμηθεὶς καὶ θαυμαστωθεὶς διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετήν, αὖθις εἰς Λάρισαν ἔρχεται· καὶ ναοὺς εἰδωλικοὺς πλείστους καταστρεψάμενος, καὶ δαίμονας ἐξ ἀνθρώπων διώξας, καὶ ἄλλα πάμπολλα θαύματα κατεργασάμενος, ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπεν, εὐκτηρίους οἴκους ἐκ βάθρων αὐτῶν ἀνεγείρας, καὶ παντοίως κατακοσμήσας. Τεθησαύρισται δὲ τὸ ἱερὸν αὐτοῦ λείψανον ἐν Λαρίσῃ, πηγὴ ἰαμάτων καὶ θαυμάτων γνωριζόμενον τῇ ἀνεκφοιτήτῳ δωρεᾷ τοῦ Παρακλήτου· περὶ δὲ τὸ χιλιοστὸν ἀπὸ θεογονίας ἔτος ἐπεδραμόντων Σλάβων, μετενήνεκται ὁ πολύτιμος οὗτος θησαυρὸς ἐκ Λαρίσης παρ' αὐτῶν εἴς τινα νησῖδα ἧς ἡ κλῆσις Πρέσπα· τμῆμα δὲ ἐξ αὐτῶν φυλασσόμενον τέως ἐν τῇ Δουσίκου λεγομένῃ Μονῇ, δεδώρηται τῇ αὐτοῦ πόλει, θησαυριζόμενον ἐν τῷ ἐπ' ὀνόματι αὐτοῦ Μητροπολιτικῷ ναῷ.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐκ πυρός.

Πεποικιλμένος ἀρεταῖς, ὤφθης εὐκλεὴς Ἱεράρχης, καὶ τὸν Υἱὸν μονογενῆ, τοῦ πατρὸς καὶ ὁμοούσιον Ὅσιε, ἐκβοῶν ἀνεκήρυξας· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



Ως κεκρυμμένος θησαυρός, ὤφθης τὸ σὸν ἅγιον σκῆνος, φανερωθὲν ἀπὸ τῆς γῆς· ἀλλὰ τοῦτο τῆς σῆς ποίμνης συλήσαντες, τῆς σῆς χάριτος Ἅγιε, οὐδαμῶς ἡμᾶς ὑστέρησαν Πάτερ.

Γενοῦ θερμὴ καταφυγή, τῇ κληρονομίᾳ σου Πάτερ, τῇ τῆς ἁγίας σου σοροῦ, στερηθείσῃ ἀλλὰ πίστει ἑκάστοτε, προσιούσῃ τῷ οἴκῳ σου, καὶ τὴν θείαν σου ἀντίληψιν ἐκζητούσῃ.

Θεοτοκίον.

Ἐκ τῆς ἀχράντου σου γαστρός, ὤφθη μετὰ σώματος Κόρη, ὁ Ὑπερούσιος Θεός, τοῖς ἀνθρώποις δι' ἀμέτρητον ἔλεος, καὶ πηγήν σε ἀνέδειξεν, εὐλογίας τοῖς πιστῶς σε ὑμνολογοῦσι.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ῥάβδῳ τῶν ἐνθέων σου δογμάτων, ἀπήλασας ἐκ τῆς ποίμνης σου Ἀχίλλιε, οἷα ἐνθεώτατος, Ἱεράρχης Ὅσιε, αἱρετικῶν συστήματα καὶ ὁμοούσιον, ἐκήρυξας Πατρὶ τῷ ἀνάρχῳ, τὸν σεσαρκωμένον, Υἱὸν δι' εὐσπλαγχνίαν.

Ἄφθονα ἰάματα ἡ θήκη, ἐπήγαζεν ἐπομβρίαις θείου Πνεύματος, τῶν σεπτῶν λειψάνων σου, πάλαι ἐν τῇ πόλει σου· νῦν δὲ ὁ θεῖος οἶκός σου Πάτερ Ἀχίλλιε, χαρὰν καὶ ψυχικὴν εὐφροσύνην, τοῖς ἐν εὐλαβείᾳ, προστρέχουσι παρέχει.

Στόμα γεγονὼς τοῦ Θεοῦ Λόγου, Ἀχίλλιε ἰσαγγέλῳ πολιτείᾳ σου, λόγον τὸν σωτήριον, ἅπασι παρέθηκας, καὶ τῷ Θεῷ ἱέρευσας καθάπερ ἄγγελος· καὶ νῦν σὺν τοῖς Ἀγγέλοις χορεύων, βλέπεις Ἱεράρχα, τὰ ὑπὲρ νοῦν καὶ λόγον.

Θεοτοκίον.

Ἵνα τῆς κατάρας τῆς ἀρχαίας, ὁ Λόγος ὁ τοῦ Θεοῦ δι' ἀγαθότητα, τοὺς ἀνθρώπους ῥύσηται, ἄνθρωπος ὁ ἄναρχος, ἐκ σοῦ ὡράθη Ἄχραντε καὶ ἐπανήγαγεν, ἡμᾶς πρὸς τὴν οὐράνιον δόξαν, ἐξ ἧς φθόνῳ τὸ πάλαι, πεπτώκαμεν τοῦ πλάνου.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Μνήμην ἱεράν, τελεῖ καὶ πανέορτον τῆς σῆς κοιμήσεως, Ἅγιε Ἀχίλλιε, ἡ Λαρισαίων πόλις χορεύουσα· ποιμένα γάρ σε ἔσχηκε καὶ ἀντιλήπτορα, καὶ μεσίτην, πρὸς τὸν Θεὸν θερμότατον, ἣν φυλάττοις ἐκ πάσης κακώσεως.

www.tezaurliturgic.ro



Ὄμβροις μυστικοῖς, τῶν σῶν παρακλήσεων παθῶν τοὺς ἄνθρακας, Ἅγιε Ἀχίλλιε, τῶν τυραννούντων ἡμᾶς κατάσβεσον, καὶ ἐξαιρέτως φύλαττε ταύτην τὴν πόλιν σου, πάσης βλάβης, πίστει καταφεύγουσαν, καθ᾽ ἑκάστην τῇ θείᾳ πρεσβείᾳ σου.

Ὕμνους ἱερούς, ὑφαίνομεν Ἅγιε τῇ θείᾳ μνήμῃ σου, καὶ θερμῶς βοῶμέν σοι, ἀπὸ καρδίας Πάτερ Ἀχίλλιε. Δίδου ἡμῖν τοῖς τέκνοις σου τὴν εὐλογίαν σου, ἀποτρέπων, ἀφ᾽ ἡμῶν πᾶν σκάνδαλον, ὡς προστάτης ἡμῶν συμπαθέστατος.

Θεοτοκίον.

Ὕψωσας ἡμῶν, τὴν φύσιν τὴν ἔκπτωτον Θεὸν τὸν Ὕψιστον, ἀπορρήτως τέξασα, ἐν ἀνθρωπίνῃ μορφῇ δι᾽ ἔλεος· διὸ ὡς σωτηρίας σε πύλην δοξάζομεν, καὶ βοῶμεν. Χαίροις Παμμακάριστε, Θεοκότε Ἁγνὴ Ἀειπάρθενε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τοῦ Παρακλήτου Ἅγιε, δεδεγμένος τὴν χάριν, τῶν Λαρισαίων πρόεδρος, θεοφόρος ἐδείχθης. Ἀχίλλιε Ἱεράρχα· ἔνθεν ἐν τῇ Συνόδῳ, τῇ ἐν Νικαίᾳ ἔλαμψας, τῇ σοφίᾳ τῶν λόγων καὶ τὴν σαθράν, τοῦ Ἀρείου ᾔσχυνας φληναφίαν, Τριάδα ὁμοούσιον, ὀρθοδόξως κηρύττων.

Καὶ τὸ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν εὐκλεῆ Ἱεράρχην Χριστοῦ Ἀχίλλιον, ὡς τοῦ Εὐαγγελίου, πρακτικὸν ὑποφήτην, καὶ μύστην τῆς Τριάδος θεοειδῆ, ἀνυμνήσωμεν λέγοντες. Μὴ διαλίπῃς πρεσβεύων Πάτερ ἀεί, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῶν Λαρισαίων ἡ πόλις σήμερον τέρπεται, τὴν μνήμην σου τελοῦσα, τὴν πανέορτον πόθῳ, Ἀχίλλιε παμμάκαρ Ἱεραρχῶν, ἱερὸν ἐγκαλλώπισμα· ταύτης ποιμὴν γὰρ ἐδείχθης καὶ πρεσβευτὴς πρὸς Θεὸν Πάτερ θερμότατος.

www.tezaurliturgic.ro



Ἐ'ν τῇ Συνόδῳ τῇ Πρώτῃ Πάτερ Ἀχίλλιε, λαμπρῶς ἀνακηρύττεις, λόγῳ ἅμα καὶ ἔργῳ, τὸν Λόγον ὁμοούσιον τῷ Πατρί, καὶ τῷ Πνεύματι Ὅσιε, καὶ τοῦ Ἀρείου καθεῖλες ὡς βδελυκτήν, τὴν τομήν τε καὶ διαίρεσιν.

Τῶν ἀρετῶν τὸ ταμεῖον, ὁ τῶν θαυμάτων κρουνός, τὸ τῶν Πατέρων κλέος, Ἐκκλησίας ὁ στῦλος, ἁπάσης Θεσσαλίας φωστὴρ ὁ λαμπρός, τῆς Λαρίσης ὁ πρόεδρος, καὶ πολιοῦχος ὁ μέγας καὶ θαυμαστός, ἀνυμνείσθω νῦν Ἀχίλλιος.

Δόξα. Ἦχος πλ. α΄.

Ἀ'ποστολικῶς πολιτευσάμενος, λαμπροτέραν τὴν στολὴν εἰργάσω, Εὐαγγελικοῖς ἀγῶσιν, Ἱεράρχα Ἀχίλλιε· ὡς τοῦ Χριστοῦ γὰρ μιμητής, καὶ μαθητὴς ἀληθής, ἐπαξίως διέπρεψας, καὶ θαύμασιν ἐκφαίνεις, ἣν θεόθεν ἐκτήσω δωρεάν, εἰς ἀνάκτησιν ψυχῶν, καὶ καθαίρεσιν ὑψωμάτων, κατὰ τῆς ἀληθείας. Διὸ Λάρισα ἡ πόλις σου, τῇ σῇ δόξῃ κλεείζεται, καὶ Θετταλία πᾶσα, τὰ σὰ γεραίρει προτερήματα, καὶ ἡ τοῦ Θεοῦ Ἐκκλησία, χαρμοσύνως τιμᾷ σε· ἣν διὰ παντὸς ἀνεπιβούλευτον, ἐκ πάσης πλάνης φύλαττε, τῇ πρὸς Θεὸν πρεσβείᾳ σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ἢ τὸ τοῦ Πάσχα.

**Ἀ**'ναστάσεως ἡμέρα...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄. καὶ στ΄. ᾠδή. Ἀπόστολος τοῦ Ἁγίου Νικολάου. Εὐαγγέλιον τοῦ Ἁγίου Σπυρίδωνος.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις ὁ Λαρίσης θεῖος ποιμήν· χαίροις Θεσσαλίας, ὁ ἀκοίμητος ὀφθαλμός. Χαίροις τῆς Τριάδος, ὑπέρμαχος ὁ μέγας, Ἀχίλλιε παμμάκαρ, πιστῶν ἀντίληψις.

Δίστιχον.

Ἀχιλλίου μάρτυρος Ἀρχιεράρχου.

Γεράσιμος ὕμνησε τὰς ἀριστείας.



www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## Εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν

## ΑΧΙΛΛΙΟΝ

## Ἀρχιεπίσκοπον Λαρίσης, τὸν θαυματουργὸν

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.**

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς Ἱεράρχης τοῦ Χριστοῦ Θεοφόρος, καὶ τῆς Λαρίσης εὐκλεὴς ποιμενάρχης, Ἀρχιερεῦ Ἀχίλλιε μακάριε, πάσης ἡμᾶς λύτρωσαι, ἐπηρείας καὶ βλάβης, νόσων τε καὶ θλίψεων, καὶ πικρῶν συμπτωμάτων, ταῖς πρὸς Θεὸν πρεσβείαις σου σοφέ, ὡς ἀντιλήπτωρ. ἡμῶν συμπαθέστατος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄. καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.

«Δίδου σὴν χάριν ἡμῖν ὦ Πάτερ. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Δοχεῖον τῆς χάριτος τοῦ Θεοῦ, χαρίτωσον Πάτερ, τὰς καρδίας καὶ τὰς ψυχάς, τῶν πίστει καὶ πόθῳ προσιόντων, τῇ σῇ πρεσβείᾳ παμμάκαρ Ἀχίλλιε.

www.tezaurliturgic.ro



Ἰάσεις πηγάζων παντοδαπάς, ἰάτρευσον Πάτερ, τοὺς τρωθέντας βέλει δεινῷ, παθῶν ἐπηρείᾳ τοῦ Βελίαρ, καὶ πᾶσιν αἴτει Ἀχίλλιε ἄφεσιν.

Διάρας τὰς χεῖράς σου νοερῶς, εὐλόγησον Πάτερ, τοὺς ἑστῶτας πανευλαβῶς, παμμάκαρ τῇ θείᾳ σου Εἰκόνι, καὶ πᾶσι δίδου χαρὰν τὴν οὐράνιον.

Θεοτοκίον.

Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, Κεχαριτωμένη, Παντευλόγητε Μαριάμ, παθῶν μου διάλυσον τὸν ζόφον, καὶ μετανοίας φωτί με καταύγασον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὑπερήφανον ὄφιν, τὸν καθ' ἡμῶν αἴροντα, γλῶσσαν ἰοβόλον κακίας, σύντριψον Ἅγιε, τῇ ἀντιλήψει σου, καὶ πρὸς τὰς τρίβους Κυρίου, τὰς ψυχὰς Ἀχίλλιε, ἡμῶν ὁδήγησον.

Σὲ προστάτην καὶ ῥύστην, καὶ βοηθὸν ἕτοιμον, πάντες Λαρισαῖοι πλουτοῦντες, θερμῶς βοῶμέν σοι· Σκέπε Ἀχίλλιε, πάσης δεινῆς δυσπραγίας, τὴν κληρονομίαν σου, ὡς συμπαθέστατος.

Ἡ ἀκένωτος χάρις, ἣν ἐκ Θεοῦ κέκτησαι, βρύει ἐκ τοῦ θείου ναοῦ σου, ὡς ὕδωρ ἄφθαρτον, καταδροσίζουσα, τὰς φλεγομένας καρδίας, πάθεσι καὶ θλίψεσι, Πάτερ Ἀχίλλιε.

Θεοτοκίον.

Νεκρωθεὶς τῇ κακίᾳ, ὡς ὑπαχθεὶς Ἄχραντε, πάσαις τοῦ ἐχθροῦ ἐπηρείαις, πίστει κραυγάζω σοι· Ζωῆς ὡς τέξασα, τὸν ἀρχηγὸν Θεοτόκε, τὴν ψυχήν μου ζώωσον, τῇ σῇ χρηστότητι.

Διάσωσον πάσης ἀνάγκης Ἀχίλλιε Ἱεράρχα, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν ἡμῖν αἴτει.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

www.tezaurliturgic.ro



Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος δ΄. Πρεσβεία θερμή.

Πρεσβείαν τὴν σήν, ὡς ἰσχυρὸν προπύργιον, πλουτοῦντες ἀεί, ραδίως ἀποτρέπομεν, τὰ καθ' ἡμῶν βουλεύματα, τοῦ δεινοῦ κοσμοκράτορος Ἅγιε, οὗ τῆς μανίας λύτρωσαι ἡμᾶς, Ἀχίλλιε Πάτερ ἱερώτατε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Χαρμονὴν δίδου Ἅγιε, τοῖς κεκρατημένοις λύπαις καὶ πάθεσιν, ὡς χαρᾶς τῆς θείας μέτοχος, καὶ τοῖς ἐν ἀνάγκαις ἀπολύτρωσιν.

Ἀοράτως ἐπίβλεψον, ἐπὶ τοὺς ἑστῶτας πιστῶς Ἀχίλλιε, τῇ Εἰκόνι σου μακάριε, καὶ παράσχου τούτοις τὰ αἰτήματα.

Ῥῶσιν αἴτει καὶ ἴασιν, τοῖς ἐν ἀσθενείαις καὶ περιστάσεσι, καὶ πταισμάτων τὴν συγχώρησιν, τοῖς σὲ μακαρίζουσιν Ἀχίλλιε.

Θεοτοκίον.

Ἰατρὸν ἡ κυήσασα, καὶ Σωτῆρα πάντων Χριστὸν τὸν Κύριον, σωτηρίας με ἀξίωσον, Κεχαριτωμένη Μητροπάρθενε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Νέκρωσον σοφέ, τῶν παθῶν τὴν ἐπανάστασιν, καὶ εἰρήνην καὶ γαλήνην εὐσταθῆ, ἐν τῷ βίῳ ἡμῖν δίδου Πάτερ Ὅσιε.

Ἡμεροφαής, ὡς ἀστὴρ λάμπων τοῖς θαύμασι, πάντα ζόφον καὶ ὀμίχλην ἐξ ἡμῶν, ἀπελαύνεις δυσχερῶν Πάτερ Ἀχίλλιε.

Μέγας ἀρωγός, Λαρισαίων πέλων Ἅγιε, ἐκ μεγάλων καὶ μικρῶν ἐπηρειῶν, τὴν σὴν πόλιν ἀπαλλάττεις τῇ πρεσβείᾳ σου.

Θεοτοκίον.

Ἴασαι Ἁγνή, τῆς ψυχῆς μου δεινὰ τραύματα, καὶ χορήγει μοι μετάνοιαν θερμήν, ὡς ἂν εὕρω τῶν παθῶν τὴν ἀπολύτρωσιν.

www.tezaurliturgic.ro



Ὠδὴ ϛ΄. Τὴν δέησιν.

Ναόν σου, τὸν ἱερὸν κεκτημένοι, ὡς ἀχείμαστον καὶ ἄκλυστον ὅρμον, πάσης δεινῆς τρικυμίας ἐν βίῳ, τούτῳ προστρέχοντες τάχος λυτρούμεθα, Ἀχίλλιε θαυματουργέ, καὶ γαλήνης τῆς θείας πληρούμεθα.

Ὡς μέγας, ἐν προστασίαις ὑπάρχων, μὴ ἐλλείπῃς συμπαθῶς προστατεύων, τῶν εὐλαβῶς προσιόντων σοι Πάτερ, καὶ τὴν θερμὴν αἰτούντων βοήθειαν, Ἀχίλλιε θαυματουργέ, ἣν ἀεὶ ἡμῖν δίδου τοῖς τέκνοις σου.

Προστάτην σε, καὶ θερμὸν πολιοῦχον, κεκτημένη Λαρισαίων ἡ πόλις, τῇ σῇ προστρέχει ἀεὶ ἀντιλήψει, καὶ εὐλαβῶς ἐκβοᾷ σοι Ἀχίλλιε. Σκέπε καὶ φύλαττε τὴν σήν, κληρουχίαν ἐκ θλίψεων Ἅγιε.

Θεοτοκίον.

Ἀφράστως, τὸν Ποιητὴν τῶν ἁπάντων, τετοκυῖα μετὰ σώματος Κόρη, σωματικῶν ὀδυνῶν με καὶ πόνων, καὶ ψυχικῆς συνοχῆς ἀπολύτρωσαι, τὸν καταφεύγοντα θερμῶς, Θεοτόκε τῇ σῇ ἀγαθότητι.

Διάσωσον πάσης ἀνάγκης Ἀχίλλιε Ἱεράρχα, τοὺς ἐν πίστει τῇ σῇ πρεσβείᾳ προστρέχοντας, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν ἡμῖν αἴτει.

Ἄχραντε ἡ διὰ λόγου...

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τῇ προστασίᾳ σου Ἅγιε σπεύδοντες, πειρατηρίων παντοίων λυτρούμεθα, καὶ χάριτος θείας πληρούμεθα, καὶ ψυχικῆς εὐφροσύνης Ἀχίλλιε· διὸ σὲ ἀπαύστως γεραίρομεν.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...

Εὐαγγέλιον. Κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος

www.tezaurliturgic.ro



κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Χάριν εἰσδεξάμενος, τὴν τῶν θαυμάτων πλουσίως, ἱερὲ Ἀχίλλιε, ὡς θεράπων γνήσιος τοῦ Παντάνακτος, τῶν παθῶν Ἅγιε, λύεις τὰς ὀδύνας, καὶ δαιμόνων τὴν ἐπήρειαν, διώκεις πάντοτε, ταῖς σαῖς μυστικαῖς ἐπισκέψεσι, καὶ ἴασιν καὶ λύτρωσιν καὶ χαρὰν βραβεύεις τοῖς χρῄζουσιν· ὅθέν σοι βοῶμεν· Μὴ παύσῃ προστατεύειν ἐκτενῶς, τῶν ἐκζητούντων ἑκάστοτε, τὴν θερμὴν πρεσβείαν σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τῇ ἁγίᾳ σορῷ σου, Λαρισαίων ἡ πόλις πάλαι ἠγάλλετο· νῦν δὲ τῷ σῷ πανσέπτῳ, καὶ ἐγκαυχωμένη, Ἱεράρχα Ἀχίλλιε, κομίζεται ἐξ αὐτοῦ, ἁγιασμὸν καὶ χάριν.

Ἐν κινδύνοις σε ῥύστην, καὶ βαρείαις ἐν νόσοις ταχὺν ἀκέστορα, κατέχοντές σε Πάτερ, παντοίων συμπτωμάτων, θλιβερῶν ἐκλυτρούμεθα, καὶ εὐχαρίστους ᾠδάς, προσάγομέν σοι πόθῳ.

www.tezaurliturgic.ro



Ρ οῦν παθῶν ἀκαθάρτων, ἀποξήρανον Πάτερ τὸν κατακλύζοντα, ψυχήν μου τὴν ἀθλίαν, θερμῇ σου προστασίᾳ, Ἱεράρχα Ἀχίλλιε, καὶ νάμασι μυστικοῖς, κατάρδευσον τὸν νοῦν μου.

Θεοτοκίον.

Γ εωργὸν τῶν ἁπάντων, ἀνηρότως ὡς ῥάβδος θεία βλαστήσασα, ἀρότρῳ πρεσβειῶν σου, γεώργησον τὸν νοῦν μου, Θεοτόκε Πανύμνητε, καρποφορεῖν νουνεχῶς, καρποὺς τῆς μετανοίας.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ε ῎πιδε Πάτερ, ἐν ἱλαρῷ ὄμματί σου, τοὺς προσπίπτοντας τῇ θείᾳ σου Εἰκόνι, καὶ παράσχου τούτοις, τὰς πατρικάς σου δόσεις.

Ρ είθροις ἀΰλοις, τῶν ἱερῶν πρεσβειῶν σου, σβέσον Ἅγιε παθῶν ἡμῶν τὴν φλόγα, ἵνα σε τιμῶμεν, Ἀχίλλιε παμμάκαρ.

Α ῎γρυπνος φύλαξ, τῶν Λαρισαίων ὑπάρχων, ἀποδίωκε ἐκ τούτων Ἱεράρχα, πᾶσαν δυσπραγίαν, καὶ βλάβην καὶ μανίαν.

Θεοτοκίον.

Σ αρκός μου παῦσον, τὰς χαλεπὰς ἀρρωστίας, καὶ ἀπέλασον τὸν ζόφον τῆς ψυχῆς μου, ἡ τὸ φῶς τεκοῦσα, τὸ ἄδυτον Παρθένε.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ι ᾿σχὺν τοῖς ἀσθενοῦσι, καὶ ἴασιν δίδου, καὶ τεθλιμμένοις χαρὰν καὶ παράκλησιν, τῇ συμπαθεῖ προστασίᾳ σου ἱερώτατε.

Μ εγάλων χαρισμάτων, ἔμπλεως ὑπάρχων, μεγάλων πόνων καὶ θλίψεων λύτρωσαι, τὴν σὲ γεραίρουσαν πόλιν Πάτερ Ἀχίλλιε.

Ο ῾ μέγας Λαρισαίων, ἔφορος καὶ ῥύστης, τὰς ἱκεσίας φωνὰς δέχου πάντοτε, τῶν προστρεχόντων τῇ σκέπῃ σου ὦ Ἀχίλλιε.

Θεοτοκίον

Υ ῾πέραγνε Μαρία, ἐναγῆ με ὄντα, λόγοις καὶ ἔργοις καὶ πράξεσι κάθαρον, καὶ καθαρᾶς πολιτείας ἐργάτην δεῖξόν με.

www.tezaurliturgic.ro



Τὸ **Ἄξιόν ἐστι** καὶ τὰ μεγαλυνάρια.

Χαίροις Λαρισαίων λαμπρὸς φωστήρ, καὶ θερμὸς προστάτης, Ἱεράρχα θαυματουργέ· χαίροις ὁ παρέχων, βοήθειαν ἐν πᾶσιν, Ἀχίλλιε τρισμάκαρ, τοῖς προσιοῦσί σοι.

Ὤφθης εὐσεβείας μυσταγωγός, καὶ Ὀρθοδοξίας ἀρραγέστατος προμαχών· σὺ γὰρ Ἱεράρχα, Τριάδα τὴν ἁγίαν, ὁμότιμον κηρύττεις, καὶ ὁμοούσιον.

Θαύμασιν ἐκλάμψας περιφανῶς, ἤλασας τὰς νόσους, καὶ δαιμόνων πᾶσαν ἰσχύν· ὅθεν σοι βοῶμεν, Ἀχίλλιε παμμάκαρ· Δίδου ἡμῖν ἀπαύστως, τὴν σὴν βοήθειαν.

Λόγῳ σου τῷ θείῳ τὴν βδελυκτήν, αἵρεσιν Ἀρείου, κατεβρόντησας ἀληθῶς, τὸν Υἱὸν καὶ Λόγον, Πατρὸς τοῦ Προανάρχου, κηρύξας ὦ Ἀχίλλιε, ὁμοούσιον.

Ὥσπερ πάλαι ἔβλυσας θαυμαστῶν, ἔλαιον ἐκ πέτρας, Ἱεράρχα θαυματουργέ, οὕτως ἡμῖν βλῦσον, λιταῖς σου πρὸς τὸν Κτίστην, τοῦ θεϊκοῦ ἐλέους, Πάτερ τὰ ῥεύματα.

Πίστει τῇ Εἰκόνι σου τῇ σεπτῇ, προσπίπτοντες Πάτερ, ἐκβοῶμέν σοι ἐκ ψυχῆς. Πάσης ἐπηρείας, καὶ βλάβης ἀνωτέρους, ἡμᾶς ἀεὶ συντήρει, θεῖε Ἀχίλλιε.

Πᾶσαι τῶν Ἀγγέλων...

Τὸ **τρισάγιον**, τὰ συνήθη τροπάρια, **ἐκτενὴς** καὶ **ἀπόλυσις**, μεθ' ἣν

Ἦχος δ'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προστρέχοντας πιστῶς, τῇ συμπαθεστάτῃ σου σκέπῃ Πάτερ Ἀχίλλιε, πάσης ἀπολύτρωσαι, ὀργῆς καὶ θλίψεως, εὐφροσύνην δωρούμενος, ὑγείαν καὶ ῥῶσιν, ψυχῆς τε καὶ σώματος, καὶ πᾶν σωτήριον· σὺ γὰρ ὡς θεράπων Κυρίου, πάντοτε πληθοῖς τὰς αἰτήσεις, τῶν ἐν εὐλαβείᾳ προσιόντων σοι.

Δέσποινα Πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

Δίστιχον.

Ἀχίλλιε δέησιν πρόσδεξαι τήνδε
Ἣν σοι Γεράσιμος ἐν πίστει προσάγει.

www.tezaurliturgic.ro

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

## Εἰς τὸν ἐν Ἁγίοις Πατέρα ἡμῶν

# ΑΧΙΛΛΙΟΝ

## Ἀρχιεπίσκοπον Λαρίσης τὸν θαυματουργόν

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῆς Θεσσαλίας τὸν ἀστέρα τὸν ὑπέρλαμπρον
Καὶ Λαρισαίων τὸν ποιμένα τὸν ἀνύστακτον
Κατὰ χρέος εὐφημήσωμεν ἐκβοῶντες·
Παρρησίαν κεκτημένος πρὸς τὸν Κύριον
Ἐκ παντὸς ἡμᾶς κινδύνου ἐλευθέρωσον
Ἵνα κράζωμεν, χαίροις Πάτερ Ἀχίλλιε.

Ἄγγελος ἐκ τῶν τρόπων, ἐν τῷ κόσμῳ ἐφάνης, Ἀχίλλιε σοφὲ Ἱεράρχα· καὶ νῦν Ἀγγέλων δήμοις συνών, τῶν τῆς Τριάδος ἐντρυφᾷς ἐλλάμψεων, δι' ὧν πυρσεύεις ἅπαντας, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα.

Χαῖρε τὸ ἄστρον τὸ τῆς Ἑῴας
Χαῖρε τὸ φέγγος τῆς Θεσσαλίας
Χαῖρε τῆς Λαρίσης ποιμὴν ἐνθεώτατος
Χαῖρε Ἐκκλησίας φωστὴρ τηλαυγέστατος
Χαῖρε κήρυξ ὁ πολύφωνος τῆς Θεότητος Χριστοῦ
Χαῖρε ξίφος τὸ ἀμφίστομον τῆς ἀπάτης τοῦ ἐχθροῦ
Χαῖρε ὅτι καθεῖλες τοῦ Ἀρείου τὸ θράσος
Χαῖρε ὅτι παρέχεις Ὀρθοδόξοις τὸ κράτος
Χαῖρε ἀστὴρ τῆς πίστεως πάμφωτος
Χαῖρε πιστῶν ὁ θεῖος διδάσκαλος
Χαῖρε πολλῶν αὐτουργὲ θαυμασίων
Χαῖρε λειμὼν δωρεῶν οὐρανίων

Χαίροις Πάτερ Ἀχίλλιε.

www.tezaurliturgic.ro



Βλέμμα τὸ τῆς ψυχῆς σου, ἐκκαθάρας εἰσέδυς, εἰς γνόφον θεωρίας τῆς ἄνω, καὶ τὰ ὑπὲρ λόγον μυηθείς, τὸ τῆς Τριάδος κηρύττεις μυστήριον, Ἀχίλλιε μακάριε, πρὸς ἣν ἔνθους ἀεὶ κραυγάζεις.

Ἀλληλούϊα.

Γνῶσιν θείαν πλουτήσας, καθαρθεὶς τῶν προσύλων, καὶ θείας μετασχὼν φωταυγείας, ἐναρέτου βίου ὁδηγός, καὶ εὐσεβείας κήρυξ ἐχρημάτισας, ἰθύνων φόβῳ κρείττονι, πρὸς Κύριον τοὺς ἐκβῶντας.

Χαῖρε ζωῆς ἁγίας ὁ τύπος
Χαῖρε ἠθῶν ἀμέμπτων ὁ λύχνος
Χαῖρε εὐσεβείας τὸ θεῖον γεώργιον
Χαῖρε ἀφθαρσίας οὐράνιον ἔσοπτρον
Χαῖρε ὕψος θείων πράξεων, ὡς κρειττόνων ἐραστὴς
Χαῖρε βάθος θείας χάριτος καὶ σοφὸς ὑφηγητὴς
Χαῖρε ὅτι Κυρίῳ ὁλικῶς ἀνετέθης
Χαῖρε ὅτι τοῦ κόσμου θεοφρόνως ἀπέστης
Χαῖρε ψυχῆς λαμπρύνας τὰ ὄμματα
Χαῖρε σαρκὸς νεκρώσας τὸ φρόνημα
Χαῖρε λαμπρὸν ἀπαθείας ταμεῖον
Χαῖρε σεπτῶν χαρισμάτων δοχεῖον

Χαίροις Πάτερ Ἀχίλλιε.

Δύναμιν οὐρανίαν, ἐνδυσάμενος Πάτερ, θαυμάτων αὐτουργὸς θείων ὤφθης, καὶ πλημμύραν θείων διδαχῶν, ἐκ τῶν χειλέων πηγάζων Ἀχίλλιε, πολλὰς ψυχὰς κατήρδευσας, πρὸς σωτηρίαν ἐκβοώσας.

Ἀλληλούϊα.

Ἔχρισέ σε ἡ χάρις, ἕνεκεν τῶν σῶν τρόπων, καὶ βίου τοῦ ἁγίου σου Πάτερ, ἀρχιερέα λαοῦ πιστοῦ, καὶ τῆς Λαρίσης ποιμένα σε δείκνυσιν· ὁσίως γὰρ ἐποίμανας, τοὺς ἐκβοῶντάς σοι ἐκ πόθου.

Χαῖρε τὸ στόμα τῆς ἀληθείας
Χαῖρε ἡ πτῶσις τῆς δυσσεβείας
Χαῖρε Ἀποστόλων τῶν θείων διάδοχος

www.tezaurliturgic.ro



Χαῖρε χαρισμάτων ἁγίων ἀνάπλεως
Χαῖρε κλῆμα τὸ κατάκαρπον ἀρετῶν θεοειδῶν
Χαῖρε φοῖνιξ ὁ ὑψίκομος ἀγαθῶν πνευματικῶν
Χαῖρε ὅτι ἐδείχθης αὐτουργὸς θαυμασίων
Χαῖρε ὅτι ἐκλάμπεις ἐν χορείᾳ Ὁσίων
Χαῖρε εἰκὼν πλουσίας χρηστότητος
Χαῖρε λαμπτὴρ Θεοῦ ἀγαθότητος
Χαῖρε δι' οὗ Λαρισαῖοι σκιρτῶσι
Χαῖρε πρὸς ὃν ἐν χαρᾷ ἐκβοῶσι

Χαίροις Πάτερ Ἀχίλλιε.

Ζηλωτὴς Ἀποστόλων, γεγονὼς τῶν Ἁγίων, ἐν λόγοις τε καὶ πράξεσι θείαις, Ἀποστολικῶς ἱερουργεῖς, τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον Ὅσιε, πάντας παιδεύων χάριτι, Θεῷ κραυγάζειν ἐν εὐσεβείᾳ.

Ἀλληλούϊα.

Ἤθροισται ἐν Νικαίᾳ, Πνεύματι τῷ Ἁγίῳ, ἡ Σύνοδος ἡ Πρώτη καὶ θεία, ἐν ᾗ ὡς ἀστὴρ θεολαμπής, ἀναλάμψας Ἀχίλλιε μακάριε, τὸν Ἄρειον ἠμαύρωσας, καταπυρσεύων τοὺς βοῶντας.

Χαῖρε φωτὸς οὐρανίου πλήρης
Χαῖρε Θεοῦ Τρισηλίου μύστης
Χαῖρε τῆς Συνόδου τῆς Πρώτης συνήγορε
Χαῖρε τῆς Ἀρείου μανίας κατήγορε
Χαῖρε ὅτι ὁμοούσιον ἔφης τὸν Υἱὸν Πατρὶ
Χαῖρε ὅτι καταβέβληκας τῆς ἀπάτης τὴν ροπὴν
Χαῖρε ὁ θεηγόρος τῆς ἀκτίστου Τριάδος
Χαῖρε ὁ μυστολέκτης τῆς ἀνάρχου Μονάδος
Χαῖρε ἐχθρῶν ὀλέσας τὸ φρύαγμα
Χαῖρε πιστῶν φωτίσας τὸ σύστημα
Χαῖρε κρατὴρ γλυκασμοῦ ψυχοτρόφου
Χαῖρε δοτὴρ δροσισμοῦ θεοσδότου

Χαίροις Πάτερ Ἀχίλλιε.

www.tezaurliturgic.ro



Θαῦμα μέγα εἰργάσω, τῆς Συνόδου ἐν μέσῳ. Ἀχίλλιε σοφὲ Ἱεράρχα· ἔλαιον γὰρ βλύζεις θαυμαστῶς, ἐκ πέτρας ἀνίκμου ἐν θείῳ Πνεύματι, καὶ ἅπαντας ἐξέπλησας, τῇ χάριτί σου τοὺς ἐκβοῶντας.

Ἀλληλούϊα.

Ἴθυνας τὸν λαόν σου, πρὸς νομὰς ζωηφόρους, τῶν θείων ἐνταλμάτων θεόφρον, καὶ πᾶν ζιζάνιον ἐξ αὐτοῦ, τῇ διδαχῇ σου ἀπέτεμες Ὅσιε· διό σου τὴν λαμπρότητα, θαυμάζοντες ἀναβοῶμεν.

Χαῖρε τὸ κλέος τῆς Θεσσαλίας
Χαῖρε ἡ δόξα τῆς Ἐκκλησίας
Χαῖρε Λαρισαίων φωστὴρ οὐρανόφωτος
Χαῖρε Ὀρθοδόξων ἰσχὺς θεοδώρητος
Χαῖρε στόμα τὸ θεόφθογγον διδαγμάτων ἱερῶν
Χαῖρε ὄμμα τὸ μειλίχιον πλῆρες θείων οἰκτιρμῶν
Χαῖρε ὅτι ἐκ πέτρας ἔλαιον ἀναβλύζεις
Χαῖρε ὅτι σοῖς λόγοις Ἄρειον κατακλύζεις
Χαῖρε Θεοῦ φωνὴ οὐρανόβροντος
Χαῖρε ἐχθροῦ θεόσοφος ἔλεγχος
Χαῖρε δογμάτων ἁγίων κινύρα
Χαῖρε ναμάτων ἀΰλων πλημμύρα

Χαίροις Πάτερ Ἀχίλλιε.

Κήρυξ Ὀρθοδοξίας, εὐκλεὴς χρηματίσας, ἐφίμωσας Ἀρείου τὸ στόμα, καὶ ὁμοούσιον τῷ Πατρί, τὸν Υἱὸν ἀνακηρύττεις Ἀχίλλιε, τὸν δι' ἡμᾶς σαρκωθέντα, ᾧ καὶ βοᾷς σὺν τοῖς Ἀγγέλοις.

Ἀλληλούϊα.

Λάμπων ἐν τῇ Λαρίσῃ, ὡς ποιμὴν θεοφόρος, ἀκτῖσιν ἀρετῶν οὐρανίων, οὐ μόνον τὴν Θετταλίαν, ἀλλὰ καὶ πᾶσαν τὴν Ἐκκλησίαν Ἅγιε, λαμπρύνεις ταῖς σαῖς χάρισι, καὶ πάντας συγκινεῖς βοᾶν σοι.

Χαῖρε ὁ μέγας ἐν Ἱεράρχαις
Χαῖρε ὁ θεῖος ἐν Ποιμενάρχαις
Χαῖρε Παρακλήτου τὸ θεῖον κειμήλιον
Χαῖρε Παραδείσου τὸ ἄνθος τὸ τίμιον

www.tezaurliturgic.ro



Χαῖρε στῦλος ὁ ὁλόφωτος Ἐκκλησίας τοῦ Χριστοῦ
Χαῖρε λύχνος ὁ ἀείφωτος τοῦ θεόφρονος λαοῦ
Χαῖρε τῆς Θετταλίας πολυτίμητον γέρας
Χαῖρε τῶν Λαρισαίων θεοστήρικτον κέρας
Χαῖρε πηγὴ σεπτοῦ ἁγιάσματος
Χαῖρε ἀλκὴ πιστῶν ἀπροσμάχητος
Χαῖρε δι' οὗ ἡ ἀσέβεια πίπτει
Χαῖρε δι' οὗ θεία χάρις ἐκβλύζει

Χαίροις Πάτερ Ἀχίλλιε.

Μέγας ἐν Ἱεράρχαις, ἀληθῶς ἀνεδείχθης, ὡς πλήρης ταπεινώσεως ἄκρας. Ἀχίλλιε Πάτερ θαυμαστέ, καὶ θαυμάτων δυνάμεις θείῳ Πνεύματι, ἐνεργεῖς τοῖς προστρέχουσι. τῇ σκέπῃ σου καὶ βοῶσιν.

Ἀλληλούϊα.

Νέον ὡς Μωϋσέα, καὶ Ἀπόστολον Παῦλον, ἐδέχθη ἡ Ἑλλάς σε παμμάκαρ· πράξεσι γὰρ Εὐαγγελικαῖς, εὐεργετῶν τοὺς ἅπαντας Ἀχίλλιε, τὸ κήρυγμα τῆς πίστεως, πᾶσι παρέθου τοῖς βοῶσι.

Χαῖρε ἡ σάλπιγξ τῆς εὐσεβείας
Χαῖρε ἡ λύρα τῆς ἀληθείας
Χαῖρε φυτοκόμε ἠθῶν καθαρότητος
Χαῖρε ῥιζοτόμε ἁπάσης κακότητος
Χαῖρε χάριν τὴν σωτήριον ὁ πηγάζων δαψιλῶς
Χαῖρε Παύλου τὰ διδάγματα ὁ ἐκφήνας ἐναργῶς
Χαῖρε ὁ ἀσθενοῦντας ἰασάμενος λόγῳ
Χαῖρε πολλοὺς παιδεύσας τῷ οἰκείῳ σου τρόπῳ
Χαῖρε Θεοῦ θεράπων θερμότατος
Χαῖρε πιστῶν ἀτίνακτος πρόβολος
Χαῖρε δι' οὗ πᾶσα νόσος ἰᾶται
Χαῖρε ἐν ᾧ θεία χάρις ὁρᾶται

Χαίροις Πάτερ Ἀχίλλιε.

Ξένα θαύματα Πάτερ, ἐνεργῶν καθ' ἑκάστην, πολλοὺς προσήγαγες τῷ Κυρίῳ· ἐντεῦθεν ἐπλήσθη ἡ Ἑλλάς, τῶν ἱερῶν διδαχῶν σου Ἀχίλλιε, καὶ ἅπαντες ἐδόξαζον, τὸν σὲ δοξάσαντα βοῶντες.

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Ὅλον σε ὡς κατεῖδον, χάριτος θείας πλήρη, ἠγάσθησαν τὸν βίον σου Πάτερ, Κωνσταντῖνος ἄναξ ὁ πιστός, καὶ οἱ τῆς Συνόδου Πατέρες Ὅσιε· ὡς ἄγγελος ἐφαίνου γάρ, τοῖς μετὰ πόθου σοι βοῶσι.

Χαῖρε εἰκὼν Πατέρων ἁγίων
Χαῖρε κανὼν ποιμένων ὁσίων
Χαῖρε πολιτείας ὁσίας ὑπόδειγμα
Χαῖρε ἀπαθείας ἁγίας θησαύρισμα
Χαῖρε ἄγγελε ἐπίγειε, Ἱερέων καλλονὴ
Χαῖρε ἄνθρωπε οὐράνιε, Ὀρθοδόξων χαρμονὴ
Χαῖρε ὅτι παρέχεις τοῖς αἰτοῦσιν ἰάσεις
Χαῖρε ὅτι ἐκτρέπεις τοῦ ἐχθροῦ τὰς ἐπάρσεις
Χαῖρε λαμπὰς τῶν ἔργων τῆς χάριτος
Χαῖρε ἡμᾶς ἐξαίρων τοῦ χείρονος
Χαῖρε ψυχῶν ὁ καθαίρων τὸν ῥύπον
Χαῖρε Θεοῦ ὁ ἐκφαίνων τὸν οἶκτον

*Χαίροις Πάτερ Ἀχίλλιε.*

Πόλις τῶν Λαρισαίων, ἡ ἁγία σου ποίμνη, Ἀχίλλιε σοφὲ Ἱεράρχα, φρουρόν σε κεκτημένη θερμόν, τῇ σῇ σκέπῃ καταφεύγει ἑκάστοτε· ἣν φύλλαττε δεόμεθα, ἐκ πάσης θλίψεως βοῶσαν.

*Ἀλληλούϊα.*

Ῥήσεις καὶ νουθεσίας, Πατρικὰς ἀπευθύνας, τῇ ποίμνῃ σου σοφὲ Ἱεράρχα, μετέστης τῶν τῇδε ἐν χαρᾷ, καὶ τῷ φωτὶ τοῦ Κυρίου ἀνέδραμες, Ἀχίλλιε μακάριε, καταπυρσεύων τοὺς βοῶντας.

Χαῖρε ὁ θεῖος ἱερολόγος
Χαῖρε ἐν ἅπασι θεοφόρος
Χαῖρε ὑποφῆτα δογμάτων τῆς πίστεως
Χαῖρε γεωργία τῶν νόμων τοῦ κρείττονος
Χαῖρε φῶς τὸ τριλαμπέστατον ὁ δεχόμενος λαμπρῶς
Χαῖρε δόξαν τὴν τρισήλιον ὁ ὁρῶν περιφανῶς
Χαῖρε ὅτι προεῖδες τὸ σὸν ἅγιον τέλος
Χαῖρε ὅτι παρέχεις ἡμῖν ἄνωθεν σθένος
Χαῖρε χαρὰ Λαρίσης καὶ στέφανος

www.tezaurliturgic.ro



Χαῖρε πιστῶν ἀκοίμητος ἔφορος
Χαῖρε δι᾿ οὗ ἐκλυτρούμεθα πόνων
Χαῖρε δι᾿ οὗ ἐκρυόμεθα στόνων

Χαίροις Πάτερ ᾿Αχίλλιε.

Σῶμά σου Ἱεράρχα, τὸ σεπτὸν θείοις ὕμνοις, παρέδωκαν ταφῇ τῇ ὁσίᾳ, ἐξ οὗ χάρις ἔρρει κρουνηδόν, ἰαμάτων παντοδαπῶν ᾿Αχίλλιε, τοῖς πίστει καταφεύγουσι, καὶ βοῶσιν ἐν εὐλαβείᾳ.

᾿Αλληλούϊα.

Τάφῳ ἄγνωστον μένον, ἐν ἐτῶν περιόδοις, τὸ θεῖόν σου καὶ πάντιμον σκῆνος, ἀπεκαλύφθη νεύσει Θεοῦ, ὡς θησαυρὸς πολύτιμος τῇ ποίμνῃ σου, ἁγιασμὸν καὶ ἴασιν, Πάτερ παρέχον τοῖς βοῶσι.

Χαῖρε ἡ κρήνη τῶν ἰαμάτων
Χαῖρε ὁ πλοῦτος τῶν χαρισμάτων
Χαῖρε Ἱεράρχα Χριστοῦ ἱερώτατε
Χαῖρε Ποιμενάρχα ἡμῶν θεοδόξαστε
Χαῖρε σκήνωμα πολύτιμον ἐνεργείας θεϊκῆς
Χαῖρε στήριγμα ἀσάλευτον ᾿Εκκλησίας τῆς σεπτῆς
Χαῖρε ὅτι παρέστης τῷ Θεῷ μετὰ δόξης
Χαῖρε ὅτι ἀρήγεις Πατρικῶς τοῖς σοῖς τέκνοις
Χαῖρε Θεοῦ ὁρῶν τὴν λαμπρότητα
Χαῖρε παθῶν ἐκπλύνων φαυλότητα
Χαῖρε Χριστοῦ ἱερὸς παραστάτης
Χαῖρε ἡμῶν βοηθὸς καὶ προστάτης

Χαίροις Πάτερ ᾿Αχίλλιε.

Ὕμνοις Πάτερ τιμῶντες, τὸ σὸν ἅγιον σκῆνος, ἐπλήσθημεν δακρύων καὶ θρήνων, ἡνίκα ἐπελθόντες ἐχθροί, μακρὰν τοῦτο τῆς σῆς ποίμνης ἀπήγαγον· ἀλλ᾿ ἀεὶ δίδου Ἅγιε, ἡμῖν τὴν χάριν σου βοῶσιν.

᾿Αλληλούϊα.

Φύλαξ ἔσο καὶ σκέπη, τῇ σῇ ποίμνῃ παμμάκαρ, τῇ πόθῳ σε καὶ πίστει τιμώσῃ· εἰ γὰρ καὶ ἐστέρηται πάλαι, τοῦ ἱεροῦ σου λειψάνου ᾿Αχίλλιε, ἀλλ᾿ οἶκόν σοι περίβλεπτον, ἐδείματο ἀναβοῶσα.

www.tezaurliturgic.ro



Χαῖρε ὁ σύσκηνος τῶν Ἀγγέλων
Χαῖρε ὡράϊσμα τῶν Πατέρων
Χαῖρε ὁ παρέχων τοῖς πᾶσι βοήθειαν
Χαῖρε ὁ ἐκτρέπων ἐχθροῦ τὴν ἐπήρειαν
Χαῖρε σκεῦος χρυσοκόλλητον δωρημάτων ἐκ Θεοῦ
Χαῖρε ἄγγος ἱερόχρυσον πλῆρες θείου φωτισμοῦ
Χαῖρε ὅτι ἰᾶσαι τὰς νοσούσας καρδίας
Χαῖρε ὅτι λυτροῦσαι χαλεπῆς ἀθυμίας
Χαῖρε ἡμῶν τὸ θεῖον προσφύγιον
Χαῖρε πιστῶν στερρὸν ἀμυντήριον
Χαῖρε ψυχὰς θείῳ φόβῳ ρυθμίζων
Χαῖρε νοὸς τὰς αἰσθήσεις φωτίζων

Χαίροις Πάτερ Ἀχίλλιε.

Χαίρει τῶν Λαρισαίων, ἡ Μητρόπολις Πάτερ, προστάτην σε καὶ καύχημα μέγα, πλουτοῦσα Ἀχίλλιε σοφέ, καὶ πρὸς Θεὸν πρεσβευτὴν ἑτοιμότατον, καὶ τὴν ἁγίαν μνήμην σου, πανηγυρίζουσα κραυγάζει.

Ἀλληλούϊα.

Ψάλλοντές σου τοὺς ὕμνους, εὐφημοῦμέν σε Πάτερ, ὡς θεῖον Ἐκκλησίας φωστῆρα, καὶ ἀντιλήπτορα θαυμαστόν, τῆς Λαρισαίων πόλεως Ἀχίλλιε· ἧ δίδου ὡς φιλότεκνος, τὴν εὐλογίαν σου βοώσῃ.

Χαῖρε Λαρίσης ὁ πολιοῦχος
Χαῖρε Ἑλλάδος ὁ λαμπαδοῦχος
Χαῖρε Ἀποστόλων Χριστοῦ ἰσοστάσιε
Χαῖρε θεοφόρων Πατέρων συνάριθμε
Χαῖρε θεία ὑποτύπωσις εὐλαβῶν Ἱεραρχῶν
Χαῖρε πρέσβυς ἡμῶν μέγιστος πρὸς Χριστὸν τὸν ἀγαθὸν
Χαῖρε τῆς Θεσσαλίας ἐγκαλλώπισμα θεῖον
Χαῖρε τῆς εὐσεβείας εὐωδέστατον κρίνον
Χαῖρε δι᾽ οὗ παθῶν καθαρθήσομαι
Χαῖρε δι᾽ οὗ φωτὸς πληρωθήσομαι
Χαῖρε πιστῶν πρὸς Θεὸν μεσιτεία
Χαῖρε κἀμοῦ ψυχικὴ θυμηδία

Χαίροις Πάτερ Ἀχίλλιε.

www.tezaurliturgic.ro



Ὦ θεσπέσιε Πάτερ, Λαρισαίων ἡ δόξα, Ἀχίλλιε Χριστοῦ Ἱεράρχα, δεδεγμένος ἡμῶν τὰς φωνάς, τῶν ἐν τῷ βίῳ δεινῶν περιστάσεων, ἀπάλλαττε δεόμεθα, τοὺς τιμῶντάς σε καὶ βοῶντας.

Ἀλληλούϊα.

Καὶ αὖθις **τὸ Κοντάκιον**

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τῆς Θεσσαλίας τὸν ἀστέρα τὸν ὑπέρλαμπρον
Καὶ Λαρισαίων τὸν ποιμένα τὸν ἀνύστακτον
Κατὰ χρέος εὐφημήσωμεν ἐκβοῶντες·
Παρρησίαν κεκτημένος πρὸς τὸν Κύριον
Ἐκ παντὸς ἡμᾶς κινδύνου ἐλευθέρωσον
Ἵνα κράζωμεν, χαίροις Πάτερ Ἀχίλλιε.

Δίστιχον.

Ἀχίλλιε χαῖρέ σοι ἐν εὐλαβείᾳ
Γεράσιμος κράζει σοι ὁ ἀνυμνῶν σε.

www.tezaurliturgic.ro

